ἐνεγκεῖν, φορτίον μὴ δυνηθῆναι βαστάσαι τὸ ἐλαφρόν; βαρὺ πρᾶγμα καὶ φορτικὸν ἡ τῶν κόπων ἀνάπαυσις; Καὶ πῶς ἐπὶ τοῦτο ἡμᾶς ὁ Χριστὸς καλεῖ; Λέγων· « Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. » Καὶ πάλιν· « Ἄρατε τὸν ζυγὸν ἐφ' ὑμᾶς, ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν. » Τί γὰρ ἐλαφρότερον, εἰπέ μοι, τοῦ φροντίδων καὶ πραγμάτων καὶ φόβων καὶ πόνων ἀπηλλάχθαι, ἔξω τε τῶν τοῦ βίου κυμάτων ἑστάναι καὶ ἐν εὐδίῳ διάγειν λιμένι;

3. Εἰπὲ δή μοι· τί σοι δοκεῖ τῶν ἐν κόσμῳ μακαριστὸν εἶναι καὶ ζηλωτόν; Ἀρχὴν πάντως ἐρεῖς καὶ πλοῦτον καὶ τὸ παρὰ ἀνθρώποις εὐδοκιμεῖν. Καὶ τί τούτων ἀθλιώτερον, ὅταν πρὸς τὴν τῶν Χριστιανῶν ἐλευθερίαν συγκρίνηται; Ὁ μὲν γὰρ ἄρχων δήμων ὑποκεῖται θυμῷ καὶ πλήθους ὁρμαῖς ἀλογίστοις, φόβῳ τε ἀρχόντων μειζόνων, καὶ ταῖς ὑπὲρ τῶν ἀρχομένων φροντίσιν, καὶ ὁ χθὲς ἄρχων σήμερον ἰδιώτης· σκηνῆς γὰρ οὐδὲν ὁ παρὼν διενήνοχε βίος, ἀλλὰ καθάπερ ἐκεῖ βασιλέως μὲν οὗτος, ἄρχοντος δὲ ἐκεῖνος, ἕτερος δὲ σρατιώτου τάξιν πληροῖ, τῆς δὲ νυκτὸς καταλαβούσης οὔτε ὁ βασιλεὺς βασιλεύς, οὔτε ὁ ἄρχων ἄρχων, οὔτε ὁ στρατιώτης στρατιώτης, οὕτως καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐκ ἀπὸ τοῦ προσώπου, ἀλλ'